www.tezaurliturgic.ro

+

# ΚΑΝΟΝΕΣ ΤΡΕΙΣ
## ΕΙΣ ΤΟΝ ΕΝΔΟΞΟΝ ΤΟΥ ΘΕΟΥ ΠΡΟΦΗΤΗΝ
# ΗΛΙΑΝ ΤΟΝ ΘΕΣΒΙΤΗΝ
## ΕΙΣ ΗΧΟΥΣ Γ΄, ΠΛ.Α΄. καὶ ΒΑΡΥΝ




**Ἐποιήθησαν ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος**

*** 2003 ***

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

# ΚΑΝΩΝ ΠΡΩΤΟΣ ΕΙΣ ΤΟΝ ΕΝΔΟΞΟΝ ΤΟΥ ΘΕΟΥ ΠΡΟΦΗΤΗΝ ΗΛΙΑΝ ΤΟΝ ΘΕΣΒΙΤΗΝ

*Ἦχος γ', οὗ ἡ ἀκροστιχίς:*
*"Πυρὶ θείου Πνεύματος φλέξον ἡμᾶς, Ἠλία. Ἀ(θανάσιος)."*

*Ὠιδὴ α'. Ὁ Εἱρμός.*

*Ὁ τὰ ὕδατα πάλαι νεύματι θείῳ,*
*εἰς μίαν συναγωγὴν συναθροίσας,*
*καὶ τεμὼν θάλασσαν,*
*Ἰσραηλίτῃ λαῷ,*
*οὗτος ὁ Θεὸς ἡμῶν,*
*δεδοξασμένος ὑπάρχει·*
*αὐτῷ μόνῳ ᾄσωμεν,*
*ὅτι δεδόξασται.*

*Τροπάρια*

Προφητείας τὴν χάριν εἰσδεδεγμένος,
πυρίφλεκτος ἀνεφάνης, Ἠλία,
τὰ ψευδῆ εἴδωλα,
καταβαλὼν καὶ Θεοῦ,
ἀληθοῦς γέγονας,
πνευματοκίνητος σάλπιγξ·
ὅθεν σε δοξάζομεν,
Μονῆς σου τρόφιμοι.
Ὑπερζέων τῷ ζήλῳ τῆς ἀληθείας,
ἠνώρθωσας Ἰσραὴλ πεπτωκυῖαν,
τὴν σκηνὴν λόγοις σου,

**καὶ Ἀχαὰβ πονηρόν,
βασιλέα ἤλεγξας,
ἐν παῤῥησίᾳ, Ἠλία,
ὅτι παρηνόμησε,
Βάαλ ἐξόπισθεν.**

**Ῥοῦν ὑδάτων, Ἠλία, εὐχῇ κατέσχες,
καὶ ἔκλεισας οὐρανῶν καταῤῥάκτας,
εἰς λαοῦ σύνεσιν,
καὶ τιμωρίαν δεινήν,
ἐπὶ τρεῖς καὶ ἥμισυ,
χρόνους ἐν λόγῳ ξηράνας,
γῆν καὶ μὴ ἐκφέρουσαν,
αὐτῆς τὰ κάρπιμα.**

***Θεοτοκίον***

**Ἰακὼβ πατριάρχης ἀποδιδράσκων,
προεῖδέ σε ἐν Βαιθήλ, Θεοτόκε,
ὑψηλὴν κλίμακα,
στηριζομένην ἐν γῇ,
καὶ τὰ ὕψη φθάνουσαν,
τῶν οὐρανίων θαλάμων,
τόκον σου τὸν ἄφθορον,
προοιμιάζουσαν.**

*Ὠιδὴ γ'. Ὁ Εἱρμός.*

*Ὁ ἐκ μὴ ὄντων τὰ πάντα παραγαγών,
τῷ Λόγῳ κτιζόμενα,
τελειούμενα Πνεύματι,
Παντοκράτορ Δέσποτα,
ἐν τῇ ἀγάπῃ τῇ σῇ στερέωσόν με.*

*Τροπάρια*

**Θεοσεβείας μακρύνας ὁ Ἰσραήλ,**

εἰδώλων ἐγένετο,
λατρευτὴς ὁ ἀνούστατος,
ὅθεν σου ὑπήναψε,
Ἠλία, ζῆλον πατρῴας δόξης.

Εἰδώλων λάτρης ἐφάνη καὶ ἀσεβής,
λαὸς περιούσιος,
ὁ πικραίνων τὸν Κύριον,
Ὃς λεῖμμα κατέλιπεν,
ὥσπερ σοι ἔφη, Ἠλία Θεσβῖτα.

Ἰδὼν ὑψούμενα Βάαλ τὰ ἱερά,
Ἠλίας ᾐτήσατο,
ἐκ Θεοῦ λεῖψιν ὕδατος,
πρὸς λαοῦ μετάνοιαν,
καὶ βασιλέως ἀνδρὸς ἀσεβεστάτου.

*Θεοτοκίον*

Ὃν οὐρανοὶ καὶ ὁ κόσμος ἅπας, Ἁγνή,
οὐ φέρειν δεδύνηνται,
ἐν κοιλίᾳ σου ᾤκησεν,
καὶ θανάτου ἔσωσε,
ἡμᾶς τῇ θείᾳ Αὐτοῦ Οἰκονομίᾳ.

*Κάθισμα. Τὴν ὡραιότητα.*

Ζήλου πληρούμενος,
ἔρημον ᾤκησας,
ἀπαναινόμενος,
Βάαλ προσκύνησιν,
καὶ οὕτω γέγονας ἡμῖν,
νηστείας καὶ ἡσυχίας,
τύπος ποθεινότατος,
ὦ Ἠλία θεσπέσιε·
ὅθεν σου αἰτούμεθα,
τῷ Σωτῆρι ἱκέτευε,

Ὃν εἶδες ἐν Θαβὼρ ὑπὲρ φύσιν, πάντας, τυχεῖν τῆς Βασιλείας.

*Ὠιδὴ δ΄. Ὁ Εἱρμός.*

*Ἔθου πρὸς ἡμᾶς κραταιὰν ἀγάπησιν, Κύριε,*
*τὸν Μονογενῆ γάρ σου Υἱόν,*
*ὑπὲρ ἡμῶν εἰς θάνατον δέδωκας·*
*διό σοι κραυγάζομεν εὐχαριστοῦντες·*
*δόξα τῇ δυνάμει σου.*

*Τροπάρια*

Ὕδωρ ἐκ χειμάῤῥου Χοράθ, Ἠλία, ἔπινες,
ἐντολὴν λαβὼν παρὰ Θεοῦ,
ἐξελθεῖν εἰς ἔρημον ἄβατον,
καὶ κόρακας ἔσχηκάς σου σιτιστάς,
τῶν πτηνῶν τὰ ἄστοργα.

Πνέων ἐκ τοῦ ζήλου σφοδρῶς, Ἠλία ἔνδοξε,
καὶ ἐλπίδα ἔχων πρὸς Θεόν,
ἐν τῇ ἐρήμῳ μόνος διέμεινας,
τῆς πίστεως ποθῶν τὸ ἀνόθευτον,
καὶ λατρείαν ἄσπιλον.

Νοῦν πρὸς ἑαυτὸν συνάγων καὶ εὐχόμενος,
τῶν προσευχομένων ἀληθῶς,
Προφῆτα, τύπος γεγένησαι,
ἡσυχαστῶν τε προτύπωσις θεία,
ὡς τὸ μέλλον ἔδειξεν.

*Θεοτοκίον*

Εἴληφας τὰ δευτερεῖα τῆς Τριάδος, Πανάμωμε,
τῇ κυοφορίᾳ τῇ σεπτῇ,
τοῦ πάντα κόσμον ποιήσαντος,
Υἱοῦ Μονογενοῦς τοῦ Πατρός,
καὶ ἴσου τῷ Πνεύματι.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*ᾨδὴ ε΄. Ὁ Εἱρμός.*

*Πρὸς σὲ ὀρθρίζω,*
*τὸν τοῦ παντὸς Δημιουργόν,*
*τὴν ὑπερέχουσαν πάντα νοῦν εἰρήνην,*
*διότι φῶς τὰ προστάγματά σου,*
*ἐν οἷς με καθοδήγησον.*

Τροπάρια

Ὑδάτων λείψει,
τῶν τοῦ χειμάῤῥου Χοράθ,
ἐστάλης, Ἅγιε, πρὸς γυναῖκα χήραν,
μαθεῖν Κυρίου τὴν εὐσπλαγχνίαν,
ἣν δείκνυσι πρὸς ἄνθρωπον.

Μακρὰν πορείαν,
πρὸς Σιδωνίαν πορευθείς,
τῆς Σαρεφθὰ κατέλαβες τὴν χώραν,
ἐν ᾗ συνήντησας τῇ χήρᾳ,
Ἠλία, τῇ θρεψούσῃ σε.

Ἀνάγκῃ δίψης,
ᾐτήσω ὕδωρ τοῦ πιεῖν,
καὶ ἄρτου μέρους διὰ τὴν σφίγξιν πείνης,
παρὰ γυναίου ἠπορημένου,
Ἠλία, σὺ ὁ ἄκαμπτος.

*Θεοτοκίον*

Τὴν θείαν πύλην,
τοῦ Παραδείσου, Ἀγαθή,
πιστοῖς ὑπάνοιξον σῇ θείᾳ μεσιτείᾳ,
πύλη γὰρ ὤφθης ὄντως!
Χριστοῦ τοῦ Παντοκράτορος.

*ᾨδὴ ϛ΄. Ὁ Εἱρμός.*

*Ἄβυσσος ἐσχάτη ἁμαρτιῶν ἐκύκλωσέ με,*
*καὶ ἐκλείπει τὸ πνεῦμά μου·*
*ἀλλ᾽ ἐκτείνας, Δέσποτα,*
*σὸν ὑψηλὸν βραχίονα,*
*ὡς τὸν Πέτρον με,*
*Κυβερνῆτα, διάσωσον.*

*Τροπάρια*

**Οὔτε τῆς ὑδρίας τὸ ἄλευρον ἠλαττόνησεν,**
**καὶ καμψάκη τὸ ἔλαιον,**
**ξενοδοχησάσης σε,**
**ἐξ ὅλης διαθέσεως,**
**ὡς ηὐλόγησας,**
**ὦ Προφῆτα, ἀμφότερα.**

**Σφόδρα ἀσθενήσας ὁ υἱὸς τῆς θρεψάσης σε,**
**καὶ θανὼν ταύτην ἔθλιψεν,**
**ἀλλ᾽ ὡς ᾐτιάσατο,**
**᾿Ηλία, ἀναιτίως σε,**
**τοῦτον ἀνεζώωσας,**
**ἐκβοήσας πρὸς Κύριον.**

**Φόβος ᾿Αχαὰβ ἐκ σῆς καρδίας ἐξέλιπεν,**
**τοῦ Κυρίου σοι φήσαντος·**
**βασιλεῖ παράστηθι,**
**καὶ παῤῥησίᾳ ἔλεγξον,**
**ὡς διαστρέφοντα,**
**τὸν ᾿Ισραὴλ ἐκ λατρείας μου.**

*Θεοτοκίον*

**Λῦσον τὰ δεσμὰ τῆς ἁμαρτίας, Ἄχραντε,**
**τὰ δεσμοῦντα καρδίαν μου,**
**θείᾳ μεσιτείᾳ σου,**
**πρὸς σὸν Υἱὸν τὸν εὔσπλαγχνον,**


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

ἐνανθρωπήσαντα,
ἐκ πλησμονῆς ἀγαθότητος.

*Ὠιδὴ ζ´. Ὁ Εἱρμός.*

*Σὲ τὸν ἐν πυρὶ δροσίσαντα,*
*Παῖδας θεολογήσαντας,*
*καὶ Παρθένῳ ἀκηράτῳ ἐνοικήσαντα,*
*Θεὸν Λόγον ὑμνοῦμεν,*
*εὐσεβῶς μελῳδοῦντες·*
*εὐλογητὸς ὁ Θεός,*
*ὁ τῶν πατέρων ἡμῶν.*

*Τροπάρια*

Ἐν πυρὶ τὸν Κύριον ἐκάλεσας,
πλάνην ἀποτεφρώσασθαι,
καὶ ἀλήθειαν ἐνδείξηται τῆς πίστεως,
τοῖς προφήταις αἰσχύνης,
οὓς ἐν ὄρει συνῆξας,
τῇ προσταγῇ Ἀχαάβ,
εἰς σωτηρίαν λαοῦ.

Ξένον πῦρ, Ἠλία, γῇ κατήγαγες,
φλέξαν τὴν ὁλοκαύτωσιν,
καὶ τὸν χοῦν ἐκλεῖξαν εἰς κατάπληξιν,
Ἰσραὴλ ἀνομοῦντος,
ὃν ἐδίδαξας ψάλλειν·
εὐλογητὸς ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν.

Οὐρανοὺς διήνοιξας τῷ λόγῳ σου,
οὕς περ τὸν πρὶν ἀπέκλεισας,
ἐν Καρμήλῳ πόθῳ ἐπευξάμενος,
καὶ ἡ γῆ ἐμεθύσθη,
ὑετοῦ πληθυνθέντος,
παρὰ Θεοῦ ἀληθοῦς,

τοῦ τῶν πατέρων ἡμῶν.

*Θεοτοκίον*

Νοῦν μου δεῖξον ἐργαστήριον,
μνήμης Χριστοῦ, Πανάμωμε,
φαντασίας ἐκδιώκουσα τὰ εἴδωλα,
οἷς ἐγὼ φιληδόνως,
ἑκουσίως λατρεύω,
ἀποστατῶν τοῦ Θεοῦ,
τοῦ τῶν πατέρων ἡμῶν.

*Ὠιδὴ η'. Ὁ Εἱρμός.*

*Ἀστέκτῳ πυρὶ ἑνωθέντες,*
*οἱ θεοσεβείας προεστῶτες νεανίαι,*
*τῇ φλογὶ δὲ μὴ λωβηθέντες,*
*θεῖον ὕμνον ἔμελπον·*
*εὐλογεῖτε πάντα τὰ ἔργα τὸν Κύριον,*
*καὶ ὑπερυψοῦτε,*
*εἰς πάντας τοὺς αἰῶνας.*

*Τροπάρια*

Ἠλία, πυρίνῳ σου ζήλῳ,
τοὺς τῆς ἀσεβείας προεστῶτας ἐν μαχαίρᾳ,
ἐναπέταμες πάντας,
ἐν Κισσῶν καὶ ἐβόας·
εὐλογεῖτε πάντα τὰ ἔργα τὸν Κύριον,
καὶ ὑπερυψοῦτε,
εἰς πάντας τοὺς αἰῶνας.

Μανίαν φυγὼν Ἰεζάβελ,
ἐν Βηρσαβεὲ ἐμάκρυνας, Ἠλία,
καὶ ἡμέρας πορείαν,
ἐν ἐρήμῳ τελέσας,
κάτωθεν ἀρκεύθου πεσὼν ἐκοιμήθης,

φόβῳ ἀπωλέσας,
τὴν μνήμην τοῦ Κυρίου.
᾿Ανάστηθι, φάγε καὶ πίε,
ἤκουσας, Προφῆτα, ἐξ ᾿Αγγέλου Κυρίου,
καὶ ἰδοὺ ἐγκρυφίας,
ὀλυρίτου καὶ ὕδωρ,
ὧν τῇ βρώσει μεθ᾿ ἡμέρας τεσσαράκοντα,
ἐν Χωρὴβ τῷ ὄρει,
ὡς ἔφθασας ἐκρύβης.

*Θεοτοκίον*

Σωτῆρα τεκοῦσα τῶν ἀνθρώπων,
κἀμὲ σῶσον, Μῆτερ, πολλὰ ἡμαρτηκότα,
καὶ μὴ σθένοντα ὅλως,
ὀρθῶς πορευθῆναι·
ὅθεν σωτηρίαν μὴ ἔχων εὐέλπιστον,
σὲ ἐπικαλοῦμαι,
ἐξ ὅλης μου καρδίας.

*Ὠιδὴ θ΄. Ὁ Εἱρμός.*

*᾿Εν Σιναίῳ τῷ ὄρει κατεῖδέ σε,*
*ἐν τῇ βάτῳ Μωϋσῆς,*
*τὴν ἀφλέκτως τὸ πῦρ τῆς θεότητος,*
*συλλαβοῦσαν ἐν γαστρί·*
*Δανιὴλ δέ σε εἶδεν, ὄρος ἀλατόμητον,*
*ῥάβδον βλαστήσασαν,*
*᾿Ησαΐας κέκραγε,*
*τὴν ἐκ ῥίζης Δαβίδ.*

Τροπάρια

᾿Ηλιού, τὶ ἐνταῦθα ἐκάθισας;
σὲ ἠρώτησε Θεός,
ἀπελέγχων εὐόλισθον φύσεως,
ἐξ οὗ σφόδρα φοβηθείς,

ἀπειλὴν Ἰεζάβελ εἰπούσης φονεῦσαί σε,
σφόδρα ἐμάκρυνας,
καὶ ἐρήμῳ ᾤκησας,
ὡς παιδίον μικρόν.

Λόγῳ δὶς ἐν πυρὶ ἀπετέφρωσας,
τοὺς σταλέντας Ἀχαάβ,
ἀλλ᾽ οὐχὶ καὶ τὸν τρίτον φωνήσαντα,
ταπεινώσει σε πολλῇ·
ὅθεν πάντας, Ἠλία, τοὺς πόθῳ τιμῶντάς σε,
τῆς γεέννης λύτρωσαι,
καὶ πυρὸς κολάσεως,
ἐν ἡμέρᾳ φρικτῇ.

Ἰορδάνην, Προφῆτα, κατέλαβες,
τῇ προστάξει τοῦ Θεοῦ,
καὶ διπλῆν σου τὴν χάριν κατέλιπες,
ἐπὶ τὸν Ἐλισσαιέ,
μεθ᾽ οὗ πρέσβευε πάντοτε πρὸς τὸν Κύριον,
ὅπως ἀπόμοιραν,
δῷ τοῖς σὲ γεραίρουσι,
τοῦ σοῦ ζήλου μικράν.

Ἀνελήφθης πυρίνῳ ἐν ἅρματι,
καὶ πυρός ἐν συσσεισμῷ,
μηλωτὴν μαθητῇ καταλείψας σου,
εὐλογίαν πατρικήν,
ἣν χορήγει, Ἠλία, πᾶσι τοῖς αἰτοῦσί σε,
ὡς εὑρισκόμενος,
μόνος ὡς εἰς οὐρανόν,
πρὸ προσώπου Θεοῦ.

*Θεοτοκίον*

Ἀριθμῶν τὴν πληθὺν τῶν πταισμάτων μου,
ἀπελπίζομαι, Ἁγνή,
ὅτι τεῖχος χαλκοῦν μοι γεγόνασι,

**καὶ χωρίζουσι Χριστοῦ·**
**ὅθεν σπεῦσον εὐχαῖς σου καὶ δός μοι τὴν δύναμιν,**
**εἰς ἀποτίναξιν,**
**τοῦ ἐπικαθίσαντος ἐμοί,**
**σκοτισμοῦ τῶν παθῶν.**



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

# ΔΕΥΤΕΡΟΣ ΚΑΝΩΝ ΕΙΣ ΤΟΝ ΕΝΔΟΞΟΝ ΤΟΥ ΘΕΟΥ ΠΡΟΦΗΤΗΝ ΗΛΙΑΝ ΤΟΝ ΘΕΣΒΙΤΗΝ

*Ἦχος πλ.α', οὗ ἡ ἀκροστιχίς:*
*"Κατάσφαξον, Θεσβῖτα, ψυχῶν εἴδωλα πάθη. Ἀ(θανάσιος)."*

*ᾨδὴ α'. Ὁ Εἱρμός.*

*Ἵππον καὶ ἀναβάτην εἰς θάλασσαν ἐρυθράν,*
*ὁ συντρίβων πολέμους,*
*ἐν ὑψηλῷ βραχίονι,*
*Χριστὸς ἐξετίναξεν,*
*Ἰσραὴλ δὲ ἔσωσεν,*
*ἐπινίκιον ὕμνον ᾄδοντα.*

*Τροπάρια*

Κόρακας τροφοφόρους,
ἐν τῇ ἐρήμῳ ὁ σχών,
ὦ Προφῆτα Ἠλία,
εὐχαῖς σου τροφοφόρησον,
ἡμᾶς τοὺς ὑμνοῦντάς σε,
καὶ εὐχέτην ἄσειστον,
αἰτουμένους πρὸς τὸν Φιλάνθρωπον.

Ἄνομον πολιτείαν,
τοῦ πονηροῦ Ἰσραήλ,
τοῦ ἐξόπισθεν Βάαλ,
Θεσβῖτα, βλέπων ἔστενες,
διὸ καὶ κατέλαβες,

**τοῦ Χορὰθ πανέρημον,**
**θέλων εἶναι Θεῷ μονώτατος.**

**Τρεῖς καὶ ἥμισυ χρόνους,**
**τοὺς οὐρανοὺς τῇ εὐχῇ,**
**ὦ Ἠλία, συγκλείσας,**
**τὴν γῆν ξηρὰν ἀπέδειξας,**
**εἰδώλων τὴν ἄνοιαν,**
**καὶ λαοῦ ἀσέβειαν,**
**διελέγχων σπάνει τοῦ ὕδατος.**

*Θεοτοκίον*

**Ἄχραντε Θεοτόκε,**
**ἀπηλπισμένων ἐλπίς,**
**καὶ πιστῶν σωτηρία,**
**τὸν σὸν Υἱὸν ἱκέτευε,**
**δοθῆναι τὴν ἄφεσιν,**
**τῶν πολλῶν πταισμάτων μου,**
**ὡς οἰκτίρμων καὶ πολυέλεος.**

*Ὠιδὴ γ΄. Ὁ Εἱρμός.*

***Ὁ πήξας ἐπ᾿ οὐδενὸς τὴν γῆν τῇ προστάξει σου,***
***καὶ μετεωρίσας ἀσχέτως βρίθουσαν,***
***ἐπὶ τὴν ἀσάλευτον, Χριστέ,***
***πέτραν τῶν ἐντολῶν σου,***
***τὴν Ἐκκλησίαν σου στερέωσον,***
***μόνε ἀγαθὲ καὶ φιλάνθρωπε.***

*Τροπάρια*

**Σπηλαίοις ἐγκατοικῶν, Ἠλία, ἐτύπωσας,**
**τὴν ἡσυχαζόντων ζωὴν ἐν μέλλοντι,**
**ὅτι ὥσπερ σὺ ἐν τῷ Θεῷ,**
**πᾶσαν ἀφεὶς ἐλπίδα,**
**οὕτω καὶ οὗτοι ἐναπέῤῥιψαν,**

**μέριμναν τοῦ βίου τῷ Κτίσαντι.**

**Φυλάττων σαὐτόν, Ἠλία, καλῶς τῆς μίξεως,**
**τῆς μετὰ ἀνόμων εὐθὺς ὑπήκουσας,**
**τῷ Θεῷ εἰπόντι σοι οἰκεῖν,**
**ἐν αὐχμηρᾷ ἐρήμῳ,**
**ἄχρις ἡμέρας συμπληρώσεως,**
**τῆς τῶν οὐρανῶν ἀποκλείσεως.**

**Ἄφες εὐθύς, Ἠλία, τὴν ὧδε οἴκησιν,**
**ὁ Θεὸς εἴρηκέ σοι,**
**καὶ εἰς Σιδῶνα ὕπαγε,**
**ἔνθα ἐντελοῦμαι γυναικί,**
**χήρᾳ σὲ διατρέφειν,**
**ὅπως ἐκμάθῃς συγκατάβασιν,**
**ᾗπερ ἀεὶ χρῶμαι ὡς εὔσπλαγχνος.**

*Θεοτοκίον*

**Ξήρανον τῶν παθῶν μου πηγάς, Πανάμωμε,**
**καὶ δακρύων παράσχου,**
**τὴν βλύσιν ἧς ὑστέρημαι,**
**ὅπως ἀποπλύνω τὰς πολλάς,**
**βίου μου ἁμαρτίας,**
**καὶ καθαρὸς Χριστῷ ὀφθήσωμαι,**
**κατὰ τὴν ἡμέραν τῆς Κρίσεως.**

*Κάθισμα. Τὸν συνάναρχον Λόγον.*

**Μοναζόντων ὑπάρχων, Ἠλία, πρότυπον,**
**ὡς ἐρήμοις οἰκήσας Θεῷ μονώτατος,**
**Τούτῳ πρέσβευε ἀεὶ ὑπὲρ τῶν δούλων σου,**
**ὅπως ζήλου τὰς ψυχάς,**
**ἐμπλήσῃ πρὸς τὴν ἀρετῶν,**
**θησαύρησιν καὶ παράσχῃ,**
**ὑπομονὴν ἐν ἀσκήσει,**
**καὶ δῷ ἡμῖν τὸ μέγα ἔλεος.**

### *Ὠιδὴ δ΄. Ὁ Εἱρμός.*

*Δυνάμει τοῦ Σταυροῦ σου, Χριστέ,*
*στερέωσόν μου τὴν διάνοιαν,*
*εἰς τὸ ὑμνεῖν καὶ δοξάζειν σου,*
*τὰ σωτήρια παθήματα.*

### *Τροπάρια*

Ὁ χείμαῤῥος, Προφῆτα, παθῶν,
οὐκ ἐξηράνθη ἀλλὰ πέπλησται,
ἐξ ἀπροσέκτου μου βιώσεως,
ὃν εὐχαῖς σου καταξήρανον.

Νικῶμαι προσκυνήσει κρυφῇ,
Βάαλ σαρκός μου ἧς τὸ εἴδωλον,
Ἠλία, σύντριψον τάχιστα,
τῇ δεήσει σου πρὸς Κύριον.

Θαῤῥῶν τῇ προτροπῇ γυναικός,
εἰς οἶκον ἦλθες καὶ ἐξένισαι,
καταβαλὼν ὥσπερ μισθὸν αὐτῇ,
τῶν τροφῶν, Ἠλία, πλήθυνσιν.

### *Θεοτοκίον*

Ἐνέκρωσα ψυχήν μου, Ἀγνή,
ἐξ ἀμελείας καὶ κατάκειμαι,
ὥς τις παράλυτος ἐλπίδα μου,
ἐπὶ σὲ ἀνατιθέμενος.

### *Ὠιδὴ ε΄. Ὁ Εἱρμός.*

*Ὁ ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον,*
*πρὸς σὲ ὀρθρίζω καὶ σοὶ κραυγάζω·*
*τὴν ψυχήν μου φώτισον,*

*τὴν ἐσκοτισμένην,*
*Χριστὲ, ὡς μόνος εὔσπλαγχνος.*

*Τροπάρια*

Σωτηρία πανοίκειος τῇ χήρᾳ γέγονας,
ἀλεύρου καὶ ἐλαίου, Ἠλία, μὴ λειψάντων,
ὅτε ἐπευλόγησας,
πίθον καὶ καμψάκην,
ἀντὶ μισθοῦ φιλοξενίας σου.

Βόησον πρὸς Κύριον, οἴμοι! Φιλάνθρωπε!
ὅτι ὡς ὁ χήρας υἱὸς νεκρὸς ὑπάρχω,
καὶ ψυχήν μου κέκτημαι,
ἐκ τῆς ἁμαρτίας,
Ἠλιού, ὅλην ἀναίσθητον.

Ἱλεώσαις Κύριον, Ἠλία, Πολυέλεον,
ἱεραῖς εὐχαῖς σου καὶ ἱκεσίαις,
ὅπως μοι δωρήσηται,
ἄφεσιν πταισμάτων,
πολὺ γὰρ ἔχει τὸ ἔλεος.

*Θεοτοκίον*

Τὴν αἰχμαλωσίαν μου, ἣν πάσχω, Θεοτόκε,
πρόσχες, κραυγάζω σοι, καὶ δός μοι,
νῆψιν τὴν σωτήριον,
τὴν δυνησομένην,
ἐκ βόθρου ἀνελκύσαι με.

*Ὠιδὴ ς'. Ο Είρμός.*

*Μαινομένην κλύδωνι,*
*ψυχοφθόρον, Δέσποτα Χριστέ,*
*τῶν παθῶν τὴν θάλασσαν κατεύνασον,*
*καὶ ἐκ φθορᾶς,*

*ἀνάγαγέ με ὡς εὔσπλαγχνος.*

*Τροπάρια*

Ἀχαὰβ ὀφθέντος σου,
ἐν δυνάμει θείᾳ Ἠλιού,
δι᾽ αὐτοῦ τὴν ἄνομον συνήθροισας,
συναγωγήν,
λατρῶν εἰδώλων εἰς ἔλεγχον.

Ψυχοφθόρον κλύδωνα,
κατεσθίοντα τὸν Ἰσραήλ,
θαυμαστῶς, Ἠλία, ἔπαυσας,
καταγαγών,
τὸ πῦρ τῇ δεήσει σου.

Ὑετὸν πολύευκτον,
ἐχαρίσω, πάλιν δι᾽ εὐχῆς,
Ἰσραὴλ τῇ χώρᾳ καὶ ἐμέθυσεν,
αὖθις ἡ γῆ,
ὢ Ἠλιού, ἡ κατάξηρος.

*Θεοτοκίον*

Χρόνον κατηνάλωσα,
τῆς ζωῆς μου ματαιοπρεπῶς,
καὶ ἰδοὺ πρὸ ὥρας τῆς θανῆς,
ἀναβοῶ·
Δέσποινά μου, σῶσόν με.

*ᾨδὴ ζ΄. Ὁ Εἱρμός.*

*Ὁ ἐν καμίνῳ πυρός,*
*τοὺς ὑμνολόγους σώσας Παῖδας,*
*εὐλογητὸς ὁ Θεός,*
*ὁ τῶν πατέρων ἡμῶν.*



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Τροπάρια

Ὡς τῆς Τριάδος καλῶς,
τὰ τρία πρόσωπα τυπώσας,
ἐπλήρωσας θαλαά,
ὕδατος χύσει τρισσῶς.

Νέαν πηγὴν τοῦ πυρός,
ἐξ οὐρανοῦ, εὗρες, Ἠλία,
τῇ ἐπικλήσει Θεοῦ,
ἐν τῷ χειμάῤῥῳ Κισσῶν.

Ἐπιστοιβάσας καλῶς,
τὰ πρὸς θυσίαν ἡτοιμασμένα,
ἐβόησας πρὸς Θεόν,
καὶ ἐξῃτήσω τὸ πῦρ.

Θεοτοκίον

Ἰάτρευσόν μου τὸν νοῦν,
ἐξασθενήσαντα ἀμελείᾳ,
μνήμην διδοῦσα Θεοῦ,
εὐλογημένη Ἁγνή.

Ὠιδὴ η'. Ὁ Εἱρμός.

*Σοὶ τῷ παντουργῷ ἐν τῇ καμίνῳ Παῖδες,*
*παγκόσμιον πλέξαντες χορείαν ἔμελπον·*
*πάντα τὰ ἔργα τὸν Κύριον ὑμνεῖτε,*
*καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.*

Τροπάρια

Δώδεκα φυλὰς ἐτύπωσας, Ἠλία,
τοῖς λίθοις ἰασάμενος θυσιαστήριον,
ὧν τὰς καρδίας ἐπέστρεψας Κυρίῳ,
ταύτας ἐξαρπάσας, λατρείας τῶν εἰδώλων.

Ὥσπερ ἱερεῖς αἰσχύνης κατασφάξας,
Ἠλία, κατάσφαξον αἰσχύνης τὰ γεννήματα,
τὰ ἐν τῇ καρδίᾳ ἀτόπως φυτευθέντα,
καὶ χωρίζοντά με,
τῆς θέας τοῦ Κυρίου.

Λόγους φοβηθεὶς ἀνόμου Ἰεζάβελ,
εἰς Βηρσαβεὲ κάτωθεν τῆς ἀρκεύθου,
ἥψατό σε τις καὶ δέδωκε φαγεῖν σοι,
ἄρτον ὀλυρίτου,
καὶ ὕδωρ ἐν καμψάκῃ.

*Θεοτοκίον*

Ἅγνισον, Ἁγνή, καὶ λογισμοὺς καὶ πράξεις,
στερεοῦσα νοῦν εἰς θέλημα Κυρίου,
ὅπως ἀκλινῶς ὁδὸν Αὐτοῦ βαδίζων,
εὕρω ὡς ποθῶ,
οὐράνιον πατρίδα.

*Ὠιδὴ θ΄. Ὁ Εἱρμός.*

*Ἠσαΐα χόρευε,*
*ἡ Παρθένος ἔσχεν ἐν γαστρί,*
*καὶ ἔτεκε Υἱὸν τὸν Ἐμμανουήλ,*
*Θεόν τε καὶ ἄνθρωπον,*
*Ἀνατολὴ ὄνομα Αὐτῷ,*
*Ὃν μεγαλύνοντες, τὴν Παρθένον μακαρίζομεν.*

*Τροπάρια*

Πορευθεὶς κατέλαβες,
ἐν Σιναίῳ ὄρει τὸ Χωρήβ,
καὶ ἔγνως τὸν Θεὸν ἐν αὔρᾳ λεπτῇ,
Ὃς σοὶ ἐνετείλατο,
ἐπιστρέψαι καὶ Ἐλισαιέ,

χρίσαι διάδοχον,
Ἠλιοὺ προφῆτα ἔνδοξε.

Αἴτημα προσάγω σοι,
ὦ Ἠλία, ὡς Ἐλισαιέ,
δοθῆναι σαῖς εὐχαῖς χάριν κἀμοί,
πρὸς τὴν εὐαρέστησιν,
τοῦ Ἰησοῦ Λόγου τοῦ Θεοῦ·
εἰ καὶ ἐσκλήρυνα,
τοῦ αἰτῆσαι, ὅμως δέομαι.

Θαβωρίου στάσεως,
ἠξιώθης σὺν τῷ Μωϋσῇ,
Ἠλία, καὶ ὀφθαλμοῖς εἶδες τὸν Χριστόν,
Ὃν ἐξιλέωσαι,
ὑπὲρ πάντων τῶν χριστιανῶν,
τῶν ἀνυμνούντων σε,
καὶ τὴν μνήμην γεραιρόντων σου.

Ἠλιοὺ πανθαύμαστε,
ὅταν ἔλθῃς πρόδρομος Χριστοῦ,
ἐν ὥρα τῇ φοβερᾷ μνήσθητι ἡμῶν,
ὅπως οἱ ἀνάξιοι,
παραστάντες βήματι φρικτῷ,
φωνῆς ἀκούσωμεν,
δεξιοῖς προσκαλουμένης ἡμᾶς.

*Θεοτοκίον*

Ἄνασσα Πανάμωμε,
ἡ ἐλπίς μου καὶ καταφυγή,
εἰκόνα τὴν ἐμοὶ χράναντα Θεοῦ,
δέομαι κάθαρον,
ἱκεσίαις σου ταῖς μητρικαῖς,
διδοῦσα δάκρυα,
καὶ μετάνοιαν ὧν ἔπραξα.

# ΤΡΙΤΟΣ ΚΑΝΩΝ ΕΙΣ ΤΟΝ ΕΝΔΟΞΟΝ ΤΟΥ ΘΕΟΥ ΠΡΟΦΗΤΗΝ ΗΛΙΑΝ ΤΟΝ ΘΕΣΒΙΤΗΝ

## *Ἦχος βαρύς, οὗ ἡ ἀκροστιχίς:*
## *"Πρὸς οὐρανοὺς ἀνάγαγε νόας ἡμῶν, Ἠλία. Ἀ(θανάσιος)."*

### *ᾨδὴ α'. Ὁ Εἱρμός.*

*Νεύσει σου πρὸς γεώδη,*
*ἀντιτυπίαν μετήχθη,*
*ἡ πρὶν εὐδιάχυτος,*
*ὑδάτων φύσις, Κύριε·*
*ὅθεν ἀβρόχως πεζεύσας,*
*ᾄδει Ἰσραὴλ σοι ᾠδὴν ἐπινίκιον.*

### *Τροπάρια*

Πῦρ οὐρανόθεν πέμψον,
ὦ προφῆτα Ἠλία,
παθῶν προσοχθίσματα,
ψυχῆς καταφανίσαι μου,
ὅπως λατρεύσω Κυρίῳ,
ᾧπερ Ἰσραὴλ σὺ ὀπίσω προσήγαγες.

Ῥεύματα ψυχοφθόρα,
ὡς γῆν εὐχαῖς σου ξηράναις,
Θεσβῖτα, καὶ δείξαις μοι,
χαλκοῦν παθῶν στερέωμα,
ἵν᾽ ἐφεξῆς μὴ καρπίσω,
τῷ Θεῷ ἀκάνθας,
δι᾽ ὕλης τὴν ἔνδειαν.

Ὄρεσι καὶ σπηλαίοις,
οἰκῶν, Προφῆτα Κυρίου,
μακρύνων ἐμάκρυνας,
μὴ βλέπειν τὴν ἀσέβειαν·
ἐγὼ δὲ ὅλῃ καρδίᾳ,
ταύτῃ συνημμένος,
τί πράξω ὁ ἄθλιος;

### Θεοτοκίον

Σὺ τῶν πιστῶν ὑπάρχεις,
εὐλογημένη Μαρία,
ἐλπίς τε καὶ στήριγμα,
καὶ θεῖον καταφύγιον·
διὸ κἀμοὶ γενοῦ, Μῆτερ,
πρὸς Χριστὸν μεσῖτις,
ἐν ὥρᾳ τῆς Κρίσεως.

### Ὠιδὴ γ΄. Ὁ Εἱρμός.

*Ὁ κατ᾽ ἀρχὰς τοὺς οὐρανούς,
παντοδυνάμῳ σου λόγῳ,
στερεώσας, Κύριε Σωτήρ,
καὶ τῷ παντουργῷ καὶ θείῳ Πνεύματι,
πᾶσαν τὴν δύναμιν αὐτῶν,
ἐν ἀσαλεύτῳ με πέτρᾳ,
τῆς ὁμολογίας σου στερέωσον.*

### Τροπάρια

Ὁ δι᾽ ὀρνέων τὴν τροφήν,
πρωΐ καὶ δείλης, Ἠλία,
ἐν ἐρήμῳ σχὼν παρὰ Θεοῦ,
τὴν ἐμὴν ψυχὴν σφοδρῶς λιμώττουσαν,
Ἁγίῳ Πνεύματι καλῶς,
θρέψον καὶ δίδου βλαστάνειν, θείων ἀρετῶν τὰ ἐκβλαστήματα.

Ὑδατοφόρους οὐρανούς,
κλείσας, Προφῆτα, σῷ λόγῳ,
τοῦ ἐλέους θείου οὐρανούς,
ἄνοιξον ἡμῖν τοῖς δεομένοις σου,
ὅτι ἐκλείσαμεν αὐτούς,
ἐν ἁμαρτίαις ποικίλαις,
καὶ τὸν Πολυέλεον ὠργίσαμεν.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ῥῆμα ἀκούσας τοῦ Θεοῦ,
ἐν Σαρεφθὰ Σιδωνίας,
ἐπορεύθης, θεῖε ζηλωτά,
καὶ δεινῶς τῇ πείνῃ συσφιγγόμενος,
ἄρτου ψωμὸν ἐκ γυναικός,
ἐζήτεις χήρας καὶ ὕδωρ,
δίψῃ φοβερᾷ κατατηκόμενος.

*Θεοτοκίον*

Ἄνοιξον πύλας οὐρανοῦ,
ἡ πύλη οὖσα, Παρθένε,
τῆς ζωῆς ἁπάντων Ἰησοῦ,
καὶ ἐν μετανοίᾳ με εἰσάγαγε,
τῶν ἐπταισμένων μοι κακῶν,
ἐν τοῖς χοροῖς σεσωσμένων,
ὅπως μεγαλύνω σε, Πανάχραντε.

*Κάθισμα. Ἐσφραγισμένου τοῦ μνήματος.*

Πυρίνῳ ἅρματι ἥρπασαι,
ἐκ τῆς γῆς, Ἠλία, ὡς εἰς τὸν οὐρανόν,
Ἐλισαιὲ καταλείψας,
διπλῆν τὴν χάριν,
ἧς σὺ κατηξίωσαι·
ταύτην παράσχου, δεόμεθα, καὶ ἡμῖν,
τῇ πρὸς Θεὸν παῤῥησίᾳ σου.

*ᾨδὴ δ'. Ὁ Εἱρμός.*

*Ὁ πατρικοὺς κόλπους μὴ λιπών,*
*καὶ καταβὰς ἐπὶ τῆς γῆς, Χριστὲ ὁ Θεός,*
*τὸ μυστήριον ἀκήκοα τῆς οἰκονομίας σου,*
*καὶ ἐδόξασά σε, Φιλάνθρωπε.*

*Τροπάρια*

Ναοὺς ἡμᾶς δεῖξον καθαρούς,
καὶ τῆς εὐχῆς τοῦ Ἰησοῦ ἀγγεῖα τερπνά,
προσοχθίσματα τὰ θέλοντα τὴν Θεοῦ προσκύνησιν,
Ἠλιού, συντρίβων, δεήσει σου.

Ὁ δι᾽ εὐχῆς πλήσας γυναικός,
ἄγγη ἀλεύρου καὶ ἐλαίου θαυμαστῶς,
καὶ ἡμῶν τὸν καμψάκην ἐλαττονούμενον τῆς ψυχῆς,
Ἠλιού, εὐλόγησον εἰς αὐτάρκειαν.

Ὑπερ ἐκψύξαντος παιδὸς εὐχηθείς,
καὶ ἐμφυσήσας τούτου τῷ στόματι τρίς,
αὖθις τοῦτο ἀπέδωκας τῇ φιλοξενούσῃ σε,
ὡς μισθόν, Ἠλιού, τῆς ξενίας σου.

*Θεοτοκίον*

Σαρκὸς πάθη ἐκ παιδὸς περικείμενος,
καὶ τῇ δουλείᾳ τούτων καταδεσμούμενος,
ἐξαιτῶ σε, Παναμώμητε, ὡς ἁγνείας Μητέρα,
μεταποίησον τὸν λογισμόν, κουφίζουσα πόλεμον.

*ᾨδὴ ε΄. Ὁ Εἱρμός.*

*Νὺξ ἀφεγγὴς τοῖς ἀπίστοις, Χριστέ,*
*τοῖς δὲ πιστοῖς φωτισμός,*
*ἐν τῇ τρυφῇ τῶν θείων λόγων σου·*
*διὰ τοῦτο πρὸς σὲ ὀρθρίζω, καὶ ἀνυμνῶ σου τὴν θεότητα.*

*Τροπάρια*

Ἄρτος οὐκ ἦν ὁ ἀνθρώποις ἡδύς,
καὶ σὺ ὀρνέοις δυσίν,
ἐν τῷ Χοραὰθ ἐτρύφας, Ἅγιε,
ἵν᾽ ἐκ τούτου καλῶς ἐκμάθῃς,
Δημιουργοῦ τὴν ἀγαθότητα.

Νοῦν διαυγῆ ἐν ἐρήμῳ κρατῶν,
καὶ τὴν ψυχὴν καθαράν,
τὰ τοῦ Θεοῦ ἐδέχου λόγια,
ὑφ᾽ ὧν ὁδηγούμενος, Ἠλία,
πυρὶ τοῦ ζήλου κατηνάλωσαι.

Ἀνενεγκὼν τῷ ὑπερῴῳ νεκρόν,
ἐν ἐμφυσήσει τριπλῇ,
παῖδα, Θεσβῖτα, ἐξανέστησας,
διὰ τούτου σαφῶς τυπώσας,
Θεοῦ ἡμῶν τριαδικότητα.

*Θεοτοκίον*

Γόνυ οὐ κλίνω μετανοίας τῷ Θεῷ,
ὁ ἁμαρτίαις πολλαῖς,
Θεοχαρίτωτε, περιαντλούμενος,
ὅθεν αἰτῶ σε· σὺ ὁδηγός μοι,
πρὸς σωτηρίαν γενοῦ, Δέσποινα.

*Ὠιδὴ ς'. Ὁ Εἱρμός.*

*Ναυτιῶν τῷ σάλῳ τῶν βιοτικῶν μελημάτων,*
*συμπλόοις ποντούμενος ἁμαρτίαις,*
*καὶ ψυχοφθόρῳ θηρὶ προσριπτούμενος,*
*ὡς ὁ Ἰωνᾶς, Χριστέ, βοῶ σοι·*
*ἐκ θανατηφόρου με βυθοῦ ἀνάγαγε.*

*Τροπάρια*

Ἀληθῶς ὑπάρχει Ἰσραὴλ Θεὸς τῆς δόξης,
ἐβόησαν οἱ τὸ πῦρ ἰδόντες,
τὸ οὐρανόθεν πεσὸν ἐπὶ τὰ σφάγια,
ὅτε, Ἠλιού, ἐπήκουσέ σου,
καὶ ἐθαυματούργησεν ὁ Κύριος.

**Γηγενῶν καρδίας τῶν εἰδωλικῶν σεβασμάτων,**
**ἐπέστρεψας Κυρίου ὀπίσω,**
**καὶ ψυχοφθόρου θηρὸς ἀπελύτρωσας,**
**ἐνεργοποιῶν εὐχήν, Ἠλία,**
**ζήλῳ ἀληθείας πυρπολούμενος.**

**Ἐν Κισσῶν ἀνεῖλες πλῆθος ἱερέων αἰσχύνης,**
**τὸ μῦσος καθάρας τῆς ἀσεβείας,**
**τὸ συσκοτῆσαν τὴν γῆν τοῖς μιάσμασιν·**
**ὅθεν καὶ ἡμῶν τὰ πάθη σφάξον,**
**Ἠλιού, ψυχὰς κατασκοτίζοντα.**

*Θεοτοκίον*

**Νοερὸν ψυχῆς μου ὅλον κατεζόφωσα ἁμαρτίαις,**
**μὴ βλέπων τὸν ἥλιον σωτηρίας,**
**τὸν Ἰησοῦν, Ὅν, Παρθένε, ἐκύησας·**
**διὸ ἱκετεύω, φώτισόν μου,**
**σκότος τὸ συνέχον με, πρεσβείαις σου.**

*Ὠιδὴ ζ΄. Ο Είρμός.*

***Κάμινον Παῖδες,***
***πυρίφλεκτον πάλαι,***
***δροσοβολοῦσαν ἀπέδειξαν,***
***ἕνα Θεὸν ὑμνοῦντες καὶ λέγοντες·***
***ὁ ὑπερυψούμενος τῶν Πατέρων Θεός, καὶ ὑπερένδοξος.***

*Τροπάρια*

**Ὅταν ὁ φόβος,**
**ψυχαῖς ἐπιπέσῃ,**
**ὡς Ἰεζάβελ σοι, ἔνδοξε,**
**τότε εὐθὺς αὐτὸν ἀποδίωξον,**
**καὶ τὸν βίον ἅπαντα ἐν εἰρήνῃ Θεοῦ,**
**καταβράβευσον.**

**Ἄνωθεν ἔχων,**



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

τὴν χάριν, Ἠλία,
ἐν τῷ Καρμήλῳ ἐσκήνωσας,
ἐρημικῶς λατρεύειν Δεσπότῃ σου,
Ὃν ἡμᾶς ἀξίωσον εὐλαβῶς ἀνυμνεῖν,
ὡς ὑπερένδοξον.

Σῶμα νηστείᾳ,
Ἠλία, καθαίρων,
Θεοῦ ναὸν ἐναπέδειξας,
πᾶσι δεικνὺς τὴν χάριν ἣν ἔλαβες,
παρορῶν τὰ πρόσκαιρα καὶ τῆς γῆς ἡδονάς,
διὰ τὸν Κύριον.

*Θεοτοκίον*

Ἤγειρα τεῖχος,
χαλκοῦν, Θεοτόκε,
ταῖς ἀνοήτοις μου πράξεσι,
καὶ τοῦ φωτὸς Υἱοῦ σου ὑστέρημαι·
ἐν σκοτίᾳ ὄντα με λάμπρυνον, σοὶ βοῶ,
τὸν σκοτεινόμορφον.

*Ὠιδὴ η'. Ο Εἱρμός.*

*Τὸν μόνον ἄναρχον Βασιλέα τῆς δόξης,*
*ὃν εὐλογοῦσιν οὐρανῶν αἱ δυνάμεις,*
*καὶ φρίττουσι τῶν Ἀγγέλων αἱ τάξεις,*
*ὑμνεῖτε ἱερεῖς,*
*λαὸς ὑπερυψοῦτε,*
*εἰς πάντας τοὺς αἰῶνας.*

*Τροπάρια*

Μεγίστην εἴληφας τοῦ Θεοῦ ἐμπειρίαν,
Σινᾶ τῷ ὄρει κατὰ μόνας οἰκήσας,
τὸν Ἄϋλον αἰσθανθεὶς ὥσπερ αὔραν,
καὶ Τούτου τὴν φωνήν,

**ἀκούσας ὑπερλόγως,**
**Ἠλία, ὥσπερ φίλος.**

**Ὥσπερ κατέφλεξας Ἀχαὰβ ὑπηρέτας,**
**οὕτω τὰ πάθη κατάφλεξον, ὦ Θεσβῖτα,**
**τὰ φλέγοντα τὰς ψυχὰς καθ᾽ ἑκάστην,**
**καὶ ταύτας αὐχμηράς,**
**δεικνύντα καὶ ἀκάρπους,**
**εἰς δίκην αἰωνίαν.**

**Νικώμενοι ταῖς ἐχθροῦ μεθοδείαις,**
**αἰτούμεθα μηλωτὴν τῶν εὐχῶν σου,**
**αἷς φλέγεται δολομήτης, Ἠλία,**
**ἡμεῖς δὲ τῆς ζωῆς,**
**εὑρίσκομεν τὸ ξύλον,**
**ἀντίδοτον θανάτου.**

*Θεοτοκίον*

**Ἡ χάρις σου ὑπερβαίνει τοὺς νόμους,**
**οἷς αἱ τῆς φύσεως ἐνεργοῦσι δυνάμεις,**
**καὶ ἅπασι τοῖς πιστοῖς ἐκβλυστάνει,**
**θαυμάτων ἐκῤῥοάς,**
**καὶ δύναμιν ἐν βίῳ,**
**Ἀνύμφευτε Παρθένε.**

*Ὠιδὴ θ΄. Ὁ Εἱρμός.*

***Μὴ τῆς φθορᾶς, διαπείρᾳ κυοφορήσασα,***
***καὶ παντεχνήμονι Λόγῳ, σάρκα δανείσασα,***
***Μῆτερ ἀπείρανδρε, Παρθένε Θεοτόκε,***
***δοχεῖον τοῦ ἀστέκτου,***
***χωρίον τοῦ ἀπείρου, πλαστουργοῦ σου,***
***σὲ μεγαλύνομεν.***

*Τροπάρια*

**Λύων δεσμῶν τῆς φθορᾶς σε, Ἠλία, Κύριος,**
**ἐν τῷ πυρίνῳ σε ἅρματι, αἴφνης ἐξήρπασεν,**
**Ὅν καθικέτευε, αἰτούμεθα σοὶ δοῦλοι,**
**ἐν κρίσει τῇ ἐσχάτῃ,**
**ἡμᾶς ἐν χώρᾳ τάξῃ, σαῖς πρεσβείαις,**
**ἔνθα οἱ δίκαιοι.**

**Ἴδες Ὃν πάλαι, Ἠλία, σκιᾷ ἑώρακας,**
**ἐν τῷ Θαβῶρ ὑπὲρ φύσιν, σφόδρα ἐκλάμποντα,**
**καὶ πεῖραν εἴληφας, τῆς δόξης τῶν Ἁγίων,**
**ἧς πάντας ἀξιώσαις,**
**τοὺς ὕμνοις σε τιμῶντας καὶ αἰτοῦντας,**
**τὴν μεσιτείαν σου.**

**Ἄφθαρτος μένων, Θεσβῖτα, ἄχρι τῆς Κρίσεως,**
**ὅπου Δεσπότης τηρεῖ σε, καὶ αὖθις δείξει σε,**
**ὅταν καθήσηται, καὶ κρῖναι τοὺς ἀνθρώπους·**
**τότε Αὐτὸν ἱλέου,**
**Ἠλία, τῆς κολάσεως ῥυσθῆναι,**
**τοὺς σὲ γεραίροντας**

***Θεοτοκίον***

**Ἄνοιξον θύραν, Παρθένε, τῆς μετανοίας μοι,**
**κλειδὶ χρωμένη πρεσβείαν, πρὸς τὸν Φιλάνθρωπον,**
**Ὃν περ οὐ παύομαι, λυπεῖν ταῖς ἁμαρτίαις,**
**καὶ ἐλαττῶ τὴν δόξαν,**
**ἐν ὅσῳ παραμένω,**
**ἐν τῇ πτώσει ὁ ἀσυνείδητος.**

*Στίχοι*
*Πυρὸς γεέννης λύτρωσαι αἰωνίου,*
*Τοὺς σὲ ὑμνοῦντας, ὦ Ἠλία πυρφόρε.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ